# Akúsiláos

Fragmenta DK 9 B

**B 1** /1 = Damaskios, *De principiis* 124 (I,320,10 R.)

Podle Eudémových *Dějin* (fr. 117) prý Akúsiláos pokládá za první počátek Chaos, jakožto zcela nepoznatelný, a po něm tyto dva: mužský počátek, Erebos, a ženský, Noc (...) z jejich spojení se pak zrodili Aithér, Erós a Métis (...) mimo to od nich odvozuje také veliký počet jiných bohů. (...)

Ἀκουσίλαος δὲ Χάος μὲν ὑποτίθεσθαί μοι δοκεῖ τὴν πρώτην ἀρχὴν ὡς πάντῃ ἄγνωστον, τὰς δὲ δύο μετὰ τὴν μίαν· Ἔρεβος μὲν τὴν ἄρρενα, τὴν δὲ θήλειαν Νύκτα (...) ἐκ δὲ τούτων φησὶ μιχθέντων Αἰθέρα γενέσθαι καὶ Ἔρωτα καὶ Μῆτιν ... παράγει δὲ ἐπὶ τούτοις ἐκ τῶν αὐτῶν καὶ ἄλλων θεῶν πολὺν ἀριθμὸν κατὰ τὴν Εὐδήμου ἱστορίαν (fr. 117).

**B 1** /2 = Filodémos, *De pietate* 137, 13; p. 61 G.

Akúsiláos vše [odvozuje] z dřívějšího Chaosu.

Ἀκουσίλαος δ᾽ ἐκ Χάους πρώτου τἆλλα.

**B 2** = Platón, *Symposium* 178b

Hésiodos praví (*Theogonie* 116), že nejprve vznikl Chaos, po něm pak: „Gáia širokoprsá, jež pevným je pro všechny sídlem, spolu s ní Erós.“ S Hésiodem souhlasí také Akúsiláos, že po Chaosu se zrodily tyto dvě [božské bytosti], Země a Erós. Parmenidés pak o vzniku [bohů] říká (B 13): „Přede všemi bohy si [bohyně] smyslila Eróta.“ Takto se z mnoha stran souhlasně tvrdí, že Erós je jedním z nejstarších bohů.

Ἡσίοδος (*Theogonia* 116) πρῶτον μὲν Χάος φησὶ γενέσθαι· αὐτὰρ ἔπειτα Γαῖ' εὐρύστερνος, πάντων ἕδος ἀσφαλὲς αἰεί, ἠδ' Ἔρος Ἡσιόδῳ δὲ καὶ Ἀκουσίλεως σύμφησιν μετὰ τὸ Χάος δύο τούτω γενέσθαι, Γῆν τε καὶ Ἔρωτα. Παρμενίδης δὲ τὴν γένεσιν λέγει· πρώτιστον μὲν Ἔρωτα θεῶν μητίσατο πάντων. (DK 28 B 13) οὕτω πολλαχόθεν ὁμολογεῖται ὁ Ἔρως ἐν τοῖς πρεσβύτατος εἶναι.

**B 3** = *Scholia in Theocritum* arg. XIII, 12, 4 (Theón)

ἀμφιβάλλει, τίνος υἱὸν εἴπηι τὸν Ἔρωτα· Ἡσίοδος (Theog. 120) μὲν γὰρ Χάους καὶ Γῆς, Σιμωνίδης (fr. 43 D.) Ἄρεος καὶ Ἀφροδίτης, Ἀκουσίλαος Νυκτὸς καὶ Αἰθέρος.

**B 4** = *Etymologicum Magnum* s.v. Κοῖος (= Schol. in Hesiod. Theogoniam 134)

οὗτοι δὲ Τιτᾶνες καλοῦνται καὶ Τιτανίδες, ὡς Ἀκουσίλαος

**B 5** = Filodémos, *De pietate* 92, 12; p. 43 G.

Ὅμηρος (B 26) μὲν γὰρ οὐ μόνο[ν τοὺς] Ὀνε[ίρο]υς ἀγγέλους τῶν θεῶν, ἀλλὰ καὶ τὸν Ἑρμῆ Δ[ιὸς ἄγ]γελόν φησιν εἶναι καὶ τὴν Ἶριν, ἔνιοι δὲ ταύτην καὶ τῆς Ἥρας, Ἀκουσίλαος δὲ καὶ θεῶν πάντων. Φερεκύδης δ᾽ ὁ Ἀθηναῖος (F.Gr.Hist. 3; F 130; I,94) καὶ τὸν Ἑρμῆ· καὶ τὰς Ἁρπυίας τὰ μῆ[λα φ]υλάττειν Ἀκο[υσίλ]αος, Ἐπιμενίδης (3 B 9) δὲ καὶ τοῦτο καὶ τὰς αὐτὰς εἶναι ταῖς Ἑσπερίσιν.

**B 6** = Filodémos, De pietate 42, 12; p. 14 G.

Ἡσίοδος (Th. 306n.) [δὲ καὶ] Ἀκουσίλαος [Ἐχίδν]ης καὶ Τυφῶ[νος κύ]να Κέρβε[ρον ἀθά]νατον καὶ [ἄλλα τ]ερατώδη ἔ[κ]γ[ον]α, τόν τε ἀε[τὸν] τὸν καθ᾽ Ἡσίο[δον (Th. 523) τὸ τ]οῦ Προμ[ηθέως ἧπαρ ἐσθίοντα].

**B 8** = Filodémos, De pietate 43, 1; p. 15 G.

γέρων, ἀλλ᾽ [ἔτυχε] τῆς ἀθανα[σίας Πρω]τεύς· καί τ[ινες ἔλ]εγον Φόρκ[υος εἶ]ναι τοῦτον [πατέρα], τινὲς Εἰδο[θέας] Φόρκυν καὶ [τοῦ] Φόρκου Γραίας. [οὕτως] καὶ Ἀκουσί[λαος· Τι]θωνὸν μὲν [ἀθά]νατον [εἶναι γε]ρόντιον καὶ [Ὅμηρος] ἐν τοῖς [ἀναφερο]μένοις ε[ἰς αὐτόν], τῶν θηλειῶ[ν δὲ θεῶν] τὰς μὲν τε[λείας] εἰσάγουσιν, [τὰς δὲ] παρθένους [καὶ] ἀγάμους, τ[ὰς δὲ] πρεσβυτέρας [καὶ] ὑπ[εροχω]τέ[ρας γα](32c p. 5) μετάς, [τινὰς δὲ νε]ωτέρας ὡς [Ἄρτε]μιν καὶ Ἀθηνᾶν καὶ Εἰρήνην

[καὶ Δί]κην.

**B 9** = Filodémos, De pietate 45b 5; p. 17 G.

τὸν ᾿Ασκλ]ηπιὸν δ᾿ ὑ]πὸ Διὸς κα[τακτα]θῆναι γέγρ[αφεν ῾Η[σίοδος (fr. 125) κα[ὶ Πίν]δαρος (P. 3, 57?) καὶ Φε[ρεκύδης] ὁ ᾿Αθηναῖος (FGrHist. 3 F 35c; I, 72) καὶ [Πανύ]ασσις (fr. 19 K.) καὶ ῎Ανδρων (FGrHist. 10 F 17; I, 165) καὶ ᾿Ακουσίλαος.

**B 9a** = Filodémos, De pietate 60, 16; p. 32 G.

τ[ὸν δ᾿ Οὐρα]νὸν ᾿Α[κο]υσίλαος δείσαντα τοὺς [῾Εκατ]όνχειρας μὴ [περιγένω]νται, ταρτα[ρῶσαι], διότι τοι|[αῦτ᾿ εἶ]δε τούτους [ἀδικήσαντας].

**B 9b** = Filodémos, De pietate 46a; p. 18, 8 G.

[π]ερὶ δὲ [...... ᾿Α]κουσεί[λαος βραχ]έως καὶ [ὡσαύτως ῞Ο]μηρος [περὶ τῶν γιγά]ντων [μεμνημόνευ]κεν.

**B 9c** = Filodémos, De pietate 34c; p. 7, 1 G.

ὁ ᾿Ακουσίλα[ος δὲ τ]ὸν ῾Ηρακλέα [πυρὶ τ]ετελευτη[κέν]αι φησί.

**B 10** = Filodémos, De pietate 63, 1; p. 34 G.

῎Αν]δρων δ᾿ ἐ[ν τοῖς] Συνγενικοῖς (FGrHist. 10 F 3; I, 161) ᾿Α[δμή]τωι λέγει τὸν ᾿Απόλλω θητεῦσαι Δ[ιὸς] ἐπιτάξαντος. ῾Ησίοδος (fr. 126 Rz.2) δὲ καὶ ᾿Ακουσίλαος μέλλειν μὲν εἰς τὸν Τάρταρον ὑπὸ τοῦ Διὸς ἐμβληθῆναι, τῆς δ[ὲ Λητοῦς] ἱκετευσά[σης ἀν]δρὶ θητ[εῦσαι.]

**B 11** = Pseudo-Apollodóros Myth., Bibliotheca II, 2, 6

Νιόβης δὲ καὶ Διός, ἧι πρώτηι γυναικὶ Ζεὺς θνητῆι ἐμίγη, παῖς Ἄργος ἐγένετο, ὡς δὲ Ἀκουσίλαός φησι, καὶ Πελασγός, ἀφ᾽ οὗ κληθῆναι τοὺς τὴν Πελοπόννησον οἰκοῦντας Πελασγούς.

**B 12** = Pseudo-Apollodóros Myth., Bibliotheca II, 5

Ἡσίοδος (fr. 187) δὲ καὶ Ἀκουσίλαος Πειρῆνος αὐτήν [Io] φασιν εἶναι.

**B 13** = Pseudo-Apollodóros Myth., Bibliotheca II, 6

Ἀκουσίλαος δὲ γηγενῆ αὐτὸν λέγει.

**B 14** = Pseudo-Apollodóros Myth., Bibliotheca II, 26

αὗται δὲ ὡς ἐτελειώθησαν, ἐμάνησαν, ὡς μὲν Ἡσίοδός (fr. 27) φησιν, ὅτι τὰς Διονύσου τελετὰς οὐ κατεδέχοντο, ὡς δὲ Ἀκουσίλαος λέγει, διότι τὸ τῆς Ἥρας ξόανον ἐξηυτέλισαν.

**B 15** = Pseudo-Apollodóros Myth., Bibliotheca II, 94

ἕβδομον ἐπέταξεν ἆθλον τὸν Κρῆτα ἀγαγεῖν ταῦρον. τοῦτον Ἀκουσίλαος μὲν εἶναί φησι τὸν διαπορθμεύσαντα Εὐρώπην Διί ...

**B 16** = Pseudo-Apollodóros Myth., Bibliotheca III, 30

Αὐτονόης δὲ καὶ Ἀρισταίου παῖς Ἀκταίων ἐγένετο, ὃς τραφεὶς παρὰ Χίρωνι κυνηγὸς ἐδιδάχθη καὶ ἔπειτα ὕστερον ἐν τῶι Κιθαιρῶνι κατεβρώθη ὑπὸ τῶν ἰδίων κυνῶν. καὶ τοῦτον ἐτελεύτησε τὸν τρόπον, ὡς μὲν οὖν Ἀκουσίλαος λέγει, μηνίσαντος τοῦ Διός, ὅτι ἐμνηστεύσατο Σεμέλην...

**B 17** = Pseudo-Apollodóros Myth., Bibliotheca III, 133

Μενέλαος μὲν οὖν ἐξ Ἑλένης Ἑρμιόνην ἐγέννησε καὶ κατά τινας (Hesiod. fr. 99) Νικόστρατον, ἐκ δούλης Πιερίδος γένος Αἰτωλίδος, ἢ καθάπερ Ἀκουσίλαος φησι Τηρηίδος, Μεγαπένθη.

**B 18** = Pseudo-Apollodóros Myth., Bibliotheca III, 156

ὁ δὲ Ἀσωπὸς ποταμὸς Ὠκεανοῦ καὶ Τηθύος, ὡς δὲ Ἀκουσίλαος λέγει, Πηροῦς καὶ Ποσειδῶνος, ὡς δέ τινες, Διὸς καὶ Εὐρυνόμης.

**B 19** = Pseudo-Apollodóros Myth., Bibliotheca III, 199

Ζήτην καὶ Κάλαϊν πτερωτούς, οἳ πλέοντες σὺν Ἰάσονι καὶ τὰς Ἁρπυίας διώκοντες ἀπέθανον, ὡς δὲ Ἀκουσίλαος λέγει, περὶ Τῆνον ὑφ᾽ Ἡρακλέους ἀπώλοντο.

**B 20** /1 = Kléméns Alexandrijský, Stromata I, 102, 5 - 103, 1

Potopa, která v Řecko postihla za krále Ógyga, se klade do doby Forónea, jenž nastoupil po Inachovi, a do začátků královské vlády v Sikyónu; prvním králem byl Aigialeus, dalším Európs, dále vládl Telchin a Krés na Krétě. (6) Akúsiláos totiž říká, že Foróneus byl prvním člověkem. Proto také autor *Eposu o Forónеovi* řekl, že Foróneus je „otcem smrtelníků“. (103,1) Platón v *Tímaiovi* následuje Akúsiláa, když píše: „Jednou, když je chtěl přivést k řeči o dávných věcech, začal vypravovat o nejstarších dějinách naší vlasti, o Forónеovi, řečeném „prvním“, o Niobě a o událostech po potopě.“

ἦν δὲ κατὰ τὴν Ἑλλάδα κατὰ μὲν Φορωνέα τὸν μετὰ Ἴναχον ὁ ἐπὶ Ὠγύγου κατακλυσμὸς καὶ ἡ ἐν Σικυῶνι βασιλεία, πρώτου μὲν Αἰγιαλέως, εἶτα Εὔρωπος, εἶτα Τελχῖνος, καὶ ἡ Κρητὸς ἐν Κρήτηι· (6) Ἀκουσίλαος γὰρ Φορωνέα πρῶτον ἄνθρωπον γενέσθαι λέγει. ὅθεν καὶ ὁ τῆς Φορωνίδος ποιητὴς εἶναι αὐτὸν ἔφη „πατέρα θνητῶν ἀνθρώπων“. (103,1) ἐντεῦθεν ὁ Πλάτων ἐν Τιμαίῳ κατακολουθήσας Ἀκουσιλάῳ γράφει· „καί ποτε προαγαγεῖν βουληθεὶς αὐτοὺς περὶ τῶν ἀρχαίων εἰς λόγους τῶν τῇδε τῇ πόλει τὰ ἀρχαιότατα λέγειν ἐπιχειρεῖ, περὶ Φορωνέως τε τοῦ πρώτου λεχθέντος καὶ Νιόβης, καὶ τὰ μετὰ τὸν κατακλυσμόν.“

Cfr. Platón, Tímaios 21a.
Cfr. Kléméns Alexandrijský, Stromata I,103,2-5 (= Tatianos, Or. 39,7-11).

**B 20** /2 = Iulius Africanus, in: Eusebios, Praeparatio evangelica X, 10, 7

[Ogygos] ἐφ᾽ οὗ γέγονεν ὁ μέγας καὶ πρῶτος ἐν τῆι ᾽Αττικῆι κατακλυσμός, Φορωνέως ᾽Αργείων βασιλεύοντος, ὡς ᾽Ακουσίλαος ἱστορεῖ.

**B 21** = Didymos (p. 85 Schmidt), in: Macrobius, Sat. V, 18, 9

(...) Říká totiž: Ókeanos se pak ožení se svou vlastní sestrou Téthydou a z nich se zrodí tři tisíce řek. Achelóos je z nich nejstarší a je nejvíce uctíván.

ἄμεινον δὲ ἐκεῖνο λέγειν, ὅτι διὰ τὸ πάντων τῶν ποταμῶν πρεσβύτατον εἶναι ᾽Αχελῶιον τιμὴν ἀπονέμοντας αὐτῶι τοὺς ἀνθρώπους πάντα ἁπλῶς τὰ νάματα τῶι ἐκείνου ὀνόματι προσαγορεύειν. ὁ γοῦν ᾽Ακουσίλαος διὰ τῆς πρώτης ἱστορίας δεδήλωκεν, ὅτι ᾽Αχελῶιος πάντων τῶν ποταμῶν πρεσβύτατος· ἔφη γάρ· ᾽Ωκεανὸς δὲ γαμεῖ Τηθὺν ἑαυτοῦ ἀδελφήν· τῶν δὲ γίνονται τρισχίλιοι ποταμοί, ᾽Αχελῶιος δὲ αὐτῶν πρεσβύτατος καὶ τετίμηται μάλιστα.

**B 22** = Harpokratión Gramm., Lexicon in decem orationes Atticos; p. 222, 11 Dindorf

῾Ομηρίδαι· ... γένος ἐν Χίωι, ὅπερ ᾽Ακουσίλαος ἐν γ, ῾Ελλάνικος (FGrHist. 4 F 20; I,111) ἐν τῆι ᾽Ατλαντιάδι ἀπὸ τοῦ ποιητοῦ φησιν ὠνομάσθαι.

**B 23** = Iosephus Flavius, Antiquitates Iudaicae I, 107

μαρτυροῦσι δέ μου τῶι λόγωι πάντες οἱ παρ᾽ ῞Ελλησι καὶ βαρβάροις συγγραψάμενοι τὰς ἀρχαιολογίας ... καὶ γὰρ καὶ Μανέθων ... καὶ Βηρωσὸς καὶ ... συμφωνοῦσι τοῖς ὑπ᾽ ἐμοῦ λεγομένοις ῾Ησίοδός (fr. 256 Rz. 2) τε καὶ ῾Εκαταῖος (FGrHist. 1 F 35; I,16) καὶ ῾Ελλάνικος (FGrHist. 4 F 202; I,152) καὶ ᾽Ακουσίλαος καὶ πρὸς τούτοις ῎Εφορος

(FGrHist. 70 F 238; II, 109) καὶ Νικόλαος (FGrHist. 90 F 141; II,426) ἱστοροῦσι τοὺς ἀρχαίους ζήσαντας ἔτη χίλια.

**B 24** = Pausaniás, Graeciae descriptio II, 16, 4

*Velké Éóie*, jak Řekové onen epos nazývají, říkají, že tato žena [Mykéné] byla dcerou Ínachovou a manželkou Arestorovou, a město prý bylo pojmenováno podle ní. Zdůvodnění, které přisuzují Akúsiláovi, že Mykéneus je syn Spartónův a Spartón zase Foróneův, bych nemohl přijmout, protože by ji neuznali ani sami Lakedaimoňané.

ταύτην εἶναι θυγατέρα Ἰνάχου γυναῖκα δὲ Ἀρέστορος τὰ ἔπη λέγει, ἃ δὴ Ἕλληνες καλοῦσιν Ἠοίας μεγάλας· ἀπὸ ταύτης οὖν γεγονέναι καὶ τὸ ὄνομα τῆι πόλει φασί. ὃν δὲ προσποιοῦσιν Ἀκουσιλάωι λόγον, Μυκηνέα υἱὸν εἶναι Σπάρτωνος, Σπάρτωνα δὲ Φορωνέως, οὐκ ἂν ἔγωγε ἀποδεξαίμην, διότι μηδὲ αὐτοὶ Λακεδαιμόνιοι.

**B 25** = Scholia in Apollonium Rhodium II, 1122 (Epimenidés B 12)

Ἀκουσίλαος δὲ καὶ Ἡσίοδος ἐν ταῖς Μεγάλαις Ἠοίαις (fr. 152) φασὶν ἐξ Ἰοφώσσης τῆς Αἰήτου.

**B 26** = Scholia in Apollonium Rhodium IV, 57

Λάτμος ὄρος Καρίας, ἔνθα ἔστιν ἄντρον, ἐν ὧι διέτριβεν Ἐνδυμίων. ἔστι δὲ καὶ πόλις ἡ λεχθεῖσα Ἡρακλεία. ... τὸν δὲ Ἐνδυμίωνα Ἡσίοδος (fr. 11) μὲν Ἀεθλίου τοῦ Διὸς καὶ Καλύκης παρὰ Διὸς εἰληφότα τὸ δῶρον ʾἶνʾ αὐτῶι ταμίαν εἶναι θανάτου, ὅτε θέλοι ὀλέσθαιʾ. [...] καὶ Πείσανδρος (FGrHist. 16 F 7; I,181) καὶ Ἀκουσίλαος

**B 27** = Scholia in Apollonium Rhodium IV, 828

Ἀκουσίλαος Φόρκυνος καὶ Ἑκάτης τὴν Σκύλλαν λέγει.

Cfr. B 8.

**B 28** = Scholia in Apollonium Rhodium IV, 992

᾿Ακουσίλαος ἐν τῆι γ φησίν, ὅτι ἐκ τῆς ἐκτομῆς τοῦ Οὐρανοῦ ῥανίδας ἐνεχθῆναι συνέπεσεν, τουτέστι (τὰς σταγόνας, κατὰ τῆς γῆς, ἐξ ὧν γεννηθῆναι τοὺς Φαίακας, οἱ δὲ τοὺς Γίγαντας. καὶ ᾿Αλκαῖος (fr. 116; PLG III,185) δὲ λέγει τοὺς Φαίακας ἔχειν τὸ γένος ἐκ τῶν σταγόνων τοῦ Οὐρανοῦ.

**B 29** = Scholia in Apollonium Rhodium IV, 1146

περὶ δὲ τοῦ δέρους ὅτι ἦν χρυσοῦν οἱ πλεῖστοι ἱστοροῦσιν. ᾿Ακουσίλαος δὲ ἐν τῶι Περὶ γενεαλογιῶν πορφυρευθῆναί φησιν ἀπὸ τῆς θαλάσσης.

**B 30** = Schol. in Hesiod. Theogoniam 379

[ἀργέστην Ζέφυρον Βορέην τ᾿ αἰψηροκέλευθον καὶ Νότον] ᾿Ακουσίλαος δὲ τρεῖς ἀνέμους εἶναί φησι κατὰ ῾Ησίοδον (Th. 870) Βορρᾶν, Ζέφυρον καὶ Νότον· τοῦ Ζεφύρου ἐπίθετον τὸ ᾿ἀργέστην᾿ φησίν.

**B 31** = Scholia Homer. AB (in XX, 307a)

᾿Αφροδίτη χρησμοῦ ἐκπεσόντος, ὅτι τῆς τῶν Πριαμιδῶν ἀρχῆς καταλυθείσης οἱ ἀπ᾿ ᾿Αγχίσου Τρώων βασιλεύσουσιν, ᾿Αγχίσηι ἤδη παρηκμακότι συνῆλθεν, τεκοῦσα δ᾿ Αἰνείαν καὶ βουλομένη πρόφασιν κατασκευάσαι τῆς τῶν Πριαμιδῶν καταλύσεως ᾿Αλεξάνδρωι πόθον ῾Ελένης ἐνέβαλε καὶ μετὰ τὴν ἁρπαγὴν τῶι μὲν δοκεῖν συνεμάχει τοῖς Τρωσί, ταῖς δὲ ἀληθείαις παρηγόρει τὴν ἧτταν αὐτῶν, ἵνα μὴ παντελῶς ἀπελπίσαντες ἀποδῶσι τὴν ῾Ελένην. ῾Η ἱστορία παρὰ ᾿Ακουσιλάωι.

**B 32** = Scholia Homer. T (in XX, 296)

᾿Ακουσίλαος ἐν τρίτωι Γενεαλογιῶν κύριον ἤκουσε τὸ ᾿᾿Εχέπωλος᾿ οὕτως· ᾿Κλεωνύμου δ᾿ ᾿Αγχίσης, τοῦ δὲ ᾿Εχέπωλος᾿.

**B 33** = Scholia Homer. HQ (in kappa 2)

Δευκαλίων, ἐφ᾿ οὗ ὁ κατακλυσμὸς γέγονε, Προμηθέως μὲν ἦν υἱός, μητρὸς δὲ ὡς [οἱ] πλεῖστοι λέγουσι, Κλυμένης, ὡς δὲ Ἡσίοδος (fr. 3) Προνόης, ὡς δὲ Ἀκουσίλαος, Ἡσιόνης τῆς Ὠκεανοῦ καὶ Προμηθέως.

**B 34** = Scholia Homer. QV (in lambda 520)

Εὐρύπυλος ὁ Ἀστυόχης καὶ Τηλέφου τοῦ Ἡρακλέους παῖς λαχὼν τὴν πατρῴαν ἀρχὴν τῆς Μυσίας προίστατο. πυθόμενος δὲ Πρίαμος περὶ τῆς τούτου δυνάμεως ἔπεμψεν ὡς αὐτόν, ἵνα παραγένηται σύμμαχος. εἰπόντος δὲ αὐτοῦ, ὡς οὐκ ἐξῆν αὐτῶι διὰ τὴν μητέρα, ἔπεμψεν ὁ Πρίαμος τῆι μητρὶ αὐτοῦ δῶρον Ἀστυόχηι χρυσῆν ἄμπελον· ἡ δὲ λαβοῦσα τὴν ἄμπελον τὸν υἱὸν ἔπεμψεν ἐπὶ στρατείαν, ὃν Νεοπτόλεμος ὁ τοῦ Ἀχιλλέως υἱὸς ἀναιρεῖ· ἡ δὲ ἱστορία παρὰ Ἀκουσιλάωι.

**B 35** = Scholia Homer. HV (in xí 533)

Ἐρεχθεὺς ὁ τῶν Ἀθηναίων βασιλεὺς ἴσχει θυγατέρα τοὔνομα Ὠρείθυιαν κάλλει διαπρεπεστάτην. κοσμήσας δὲ ταύτην ποτὲ πέμπει κανηφόρον θύσουσαν εἰς τὴν ἀκρόπολιν τῆι Πολιάδι Ἀθηνᾶι. ταύτης δὲ ὁ Βορέας ἄνεμος ἐρασθεὶς λαθὼν τοὺς βλέποντας καὶ φυλάσσοντας τὴν κόρην ἥρπασεν. καὶ διακομίσας εἰς Θράικην ποιεῖται γυναῖκα. γίνονται δὲ αὐτῶι παῖδες ἐξ αὐτῆς Ζήτης καὶ Κάλαϊς, οἳ καὶ δι᾿ ἀρετὴν μετὰ τῶν ἡμιθέων εἰς Κόλχους ἐπὶ τὸ νάκος ἔπλευσαν ἐν τῆι Ἀργοῖ. ἡ δὲ ἱστορία παρὰ Ἀκουσιλάωι.

**B 36** = Scholia Homer. HV (in ró 207)

Πτερελάου παῖδες Ἴθακος καὶ Νήριτος ἀπὸ Διὸς ἔχοντες τὸ γένος ᾤικουν τὴν Κεφαλληνίαν. ἀρέσαν δὲ αὐτοῖς τοῦτο καταλιπόντες τὰ σφέτερα ἤθη παραγίνονται εἰς τὴν Ἰθάκην καὶ τόπον ἰδόντες εὖ πεποιημένον εἰς συνοικισμὸν διὰ τὸ τῶν παρατεθειμένων ὑψηλότερον εἶναι [καὶ] κατοικήσαντες δεῦρο τὴν Ἰθάκην ἔκτισαν.

καὶ ἐκ μὲν τοῦ Ἰθάκου ἡ νῆσος ἐπωνομάσθη Ἰθάκη, τὸ δὲ παρακείμενον ὄρος ἐκ τοῦ Νηρίτου Νήριτον. ἡ δὲ ἱστορία παρὰ Ἀκουσιλάωι.

**B 37** = Scholia in Nicandr. Ther. 11

Ἀκουσίλαος δέ φησιν ἐκ τοῦ αἵματος τοῦ Τυφῶνος πάντα τὰ δάκνοντα γενέσθαι.

**B 38** = Scholia in Pindar. O. IX, 70a

κοινὰ τὰ περὶ Δευκαλίωνα καὶ Πύρραν. καὶ ὅτι τοὺς λίθους κατόπιν ῥίπτοντες ἀνθρώπους ἐποίουν, μαρτυρεῖ Ἀκουσίλαος.

**B 39** = Scholia in Pindar. P. III, 25c

διὰ τί δὲ προὐτίμησε [Koronis] τὸν Ἴσχυν τοῦ Ἀπόλλωνος; Ἀκουσίλαος φησίν, ὡς κατὰ δέος ὑπεροψίας θνητῶι βουληθεῖσα συνεῖναι.

**B 40** = Strabón, Geographica X, 3, 21; p. 472

Ἀκουσίλαος δ᾽ ὁ Ἀργεῖος ἐκ Καβιροῦς καὶ Ἡφαίστου Κάμιλλον λέγει, τοῦ δὲ τρεῖς Καβίρους, οἷς [ ] [καὶ τρεῖς] Νύμφας Καβιρίδας.

**B 40a** = Papyrus Oxyrhynch. 1611, fr. 1, 38–85 (Grenfell-Hunt XIII; p. 133f.)

[ὅ]τι τὸ παρὰ Θεοφράστωι λεγόμενον ἐν τῶι δευτέρωι Περὶ βασιλείας περὶ τοῦ Καινέως δόρατος τοῦτο· καὶ οὗτός ἐστιν ὡς ἀληθῶς ὁ τῶι σκήπτρωι βασιλεύων, ο[ὐ] τῶι δόρατι, καθάπερ ὁ Καινεύς· ἄξιον γὰρ [κρα]τεῖν ὁ Καινεὺς τῶι [δόρ]ατι, ἀλλ᾽ οὐχὶ τῶι σκή[π]τρωι, καθάπ[ερ οἱ ἐν θρ]ό[νω]ι βασιλεῖς, [ἡγεῖτο], οὐ [μὴν] ἐδύνατο π[ρὸς] τῆς [ὑπ᾽ Ἀ]κουσιλάου [τοῦ] Ἀργείου καταλ[εγομένης] ἱστορίας ἀπολῦσα[ι δεῖ]· λέγει γὰρ περὶ Καινέα οὕτως· Καινῆι δὲ τῆι Ἐλάτου μίσγεται Ποσιδῶν. ἔπειτα (οὐ γὰρ ἦν αὐτ[ῆ]ι [ἕπ]ερον παῖδας τεκεῖν οὔτ᾽ ἐξ ἐκείνου οὔτ᾽ ἐξ ἄλλου οὐδενὸς)

ποιεῖ αὐτὸν Ποσε[ι]δέων ἄνδρα ἄτρω[το]ν, ἰσχὺν ἔχοντα [με]γί[σ]τ[η]ν τῶν ἀνθρώπων τῶν τότε· καὶ ὅτε τις αὐτὸν κεντοίη σιδήρωι ἢ χαλκῶι, ἡλίσκετο μάλιστα χρημάτων. καὶ γίγνεται βασιλεὺς οὗτος Λαπιθέων καὶ τοῖς Κενταύροις πολεμέεσκε. ἔπειτα στήσας ἀκόν[τιον ἐν ἀγορῆι θεὸν ἐκέλευεν ἀριθμεῖν. θεοῖ]σι δ᾽ οὐκ ἦε[ν ἀρεστόν, καὶ] Ζεὺς ἰδὼν αὐτ[ὸν τα]ῦτα ποιοῦντα ἀπειλεῖ, καὶ ἐφορμᾶι τοὺς Κενταύρους, κἀκεῖνοι αὐτὸν κατακόπτουσιν ὄρθιον κατὰ γῆς καὶ ἄνωθεν πέτρην ἐπιτιθεῖσιν σῆμα· καὶ ἀποθνήισκει· τοῦτ᾽ ἔστιν γὰρ ἴσως τὸ τῶι δόρατι ἄρχειν τὸν Καινέα.

**B 41** = Scholia in Pindar. O. VII, 42a

ἔοικε δὲ ὁ Πίνδαρος ἐντετυχηκέναι τῶι ἀχαιῶι ἱστοριογράφωι· ἐκεῖνος γὰρ οὕτως γενεαλογεῖ· Ὑπερόχης Εὐρύπυλος, οὗ Ὄρμενος, οὗ Φέρης, οὗ ᾽Αμύντωρ, οὗ ᾽Αστυδάμεια ἡ Τληπολέμου μήτηρ· καὶ αὐτὸς δὲ ᾽Αμύντωρ εἰς Δία τὸ γένος ἀνάγει.